STEREO
AND
MONO

33ΥΒΞ 3

# ΒΥΖΑΝΤΙΝΟΙ ΛΕΙΤΟΥΡΓΙΚΟΙ ΥΜΝΟΙ

## ΥΠΟ ΕΜΜΑΝΟΥΗΛ ΧΑΤΖΗΜΑΡΚΟΥ

Πρωτοψαλτου Μητροπολιτικου Ναου Βολου

**Ἀπὸ τὴν ὑμνολογίαν τῆς ἐκκλησίας μας**



Ἅγιος Νικόλαος – Βόλου

ΣΥΝΘΕΣΙΣ : **ΕΜΜΑΝΟΥΗΛ ΧΑΤΖΗΜΑΡΚΟΥ**
ΕΚΤΕΛΕΣΙΣ : Βυζαντινὴ Χορῳδία ὑπὸ τὴν Δ/νσιν τοῦ Συνθέτου
ΕΚΦΩΝΗΣΕΙΣ : Ἀρχιμ. Χριστοδούλου Παρασκευαΐδη

STEREO AND MONO

33ΥΒΞ 3

# ΒΥΖΑΝΤΙΝΟΙ ΛΕΙΤΟΥΡΓΙΚΟΙ ΥΜΝΟΙ

## ΥΠΟ ΕΜΜΑΝΟΥΗΛ ΧΑΤΖΗΜΑΡΚΟΥ

Πρωτοψαλτου Μητροπολιτικου Ναου Βολου

*Ἀπὸ τὴν ὑμνολογίαν τῆς ἐκκλησίας μας*

### ΔΙΣΚΟΙ ΤΟΥ ΙΔΙΟΥ

ΥΜΝΟΙ ΤΡΙΩΔΙΟΥ

ΥΜΝΟΙ ΠΕΝΤΗΚΟΣΤΑΡΙΟΥ

ΥΜΝΟΙ ΚΑΤΑΝΥΚΤΙΚΟΙ ΜΕΓΑΛΗΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ



ΒΥΖΑΝΤΙΝΟΙ ΛΕΙΤΟΥΡΓΙΚΟΙ ΥΜΝΟΙ

ΣΥΝΘΕΣΙΣ: Ἐμμανουὴλ Χατζημάρκου.
ΕΚΤΕΛΕΣΙΣ: Βυζαντινὴ χορῳδία ὑπὸ τὴν Διεύθυνσιν τοῦ συνθέτου.
ΕΚΦΩΝΗΣΕΙΣ: Ἀρχιμ. Χριστοδούλου Παρασκευαΐδη.

### Α΄ ΟΨΙΣ

Εὐλογημένη ἡ Βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν. Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς. (Ἦχος β΄).

Ἀμήν. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι, Ἀλληλούϊα. (Ἦχος β΄).

Δόξα... καὶ νῦν...
Ὁ Μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς Ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

«Ἀπολυτίκιον» τοῦ Σωτῆρος (Ἦχος α΄).

Σκέπε, Σῶτερ, Ἑλλήνων χώραν καὶ περίσωζε, πλήρωμα χριστώνυμον νίκας Σταυροῦ δυνάμει κατὰ τυράννων ἀπέργασαι. Ἵνα, Σὲ προφρόνως, Δεσπότην καὶ ρύστην, κηρύττομεν.

Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν Χριστῷ: σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι Ἀλληλούϊα.

Ἀμήν. Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. Δόξα... καὶ νῦν... Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Χερουβικόν (Ἦχος γ΄).

Οἱ τὰ Χερουβεὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν Τρισάγιον Ὕμνον προσᾴδοντες, πᾶσαν τὴν βιοτικὴν ἀποθώμεθα μέριμναν... Ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξόμενοι.

### Β΄ ΟΨΙΣ

Ταῖς ἀγγελικαῖς, ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα.

«Λειτουργικά» (Ἦχος γ΄).

Ἀγαπήσω Σε, Κύριε ἡ ἰσχύς μου, Κύριος στερέωμά μου, καὶ καταφυγή μου καὶ ρύστης μου.

Πατέρα, Υἱόν, καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον, καὶ ἀχώριστον.
Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως. Καὶ μετὰ τοῦ πνεύματός σου. Ἔχομεν πρὸς τὸν Κύριον. Ἄξιον καὶ δίκαιον.

Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος Σαβαώθ· πλήρης ὁ Οὐρανός, καὶ ἡ γῆ τῆς δόξης σου. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ὡσαννὰ ὁ ἐν τοῖς ὑψίστοις.

Σὲ ὑμνοῦμεν, Σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν.

Ἄξιον ἐστὶν ὡς ἀληθῶς· μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον, καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Εἷς Ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

«Πολυέλεος» (Ἦχος πλ. α΄).

Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός: ὅτι εἰς τὸν αἰῶνα, τὸ ἔλεος αὐτοῦ, Ἀλληλούϊα. Ἐξομολογεῖσθε τῷ Θεῷ τῶν θεῶν· ὅτι εἰς τὸν αἰῶνα, τὸ ἔλεος αὐτοῦ, Ἀλληλούϊα. Τῷ ποιήσαντι θαυμάσια μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, Ἀλληλούϊα. Τὴν σελήνην καὶ τοὺς ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, Ἀλληλούϊα.

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρωμεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες· αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Tasos K.